*Συναξάριον*

Τῇ Γ΄ τοῦ αὐτοῦ Μηνός, Μνήμη ἐκ μεταφορᾶς, τοῦ Ἁγίου ἐφήβου Ἱερομάρτυρος Ταρσιζίου τοῦ διακόνου, ἐν τῇ παλαιᾷ Ῥώμῃ ἀθλήσαντος, ἐν ἔτει 257ῳ.

Ἤστραψε Χριστοῦ φωτὶ ὁ Ἀθλοφόρος,
ἐν τῷ σκάμματι ἐχθροῦ αἰσχύνας μεθοδείας.
Τρισσιπεντάκις Ὑψιμέδωνι ἄειρε, Ταρσίζιος, λίθοις.

Οὗτος, ὑπῆρξε βλαστὸς εὐσεβῶν γονεῶν ἐν τῆς παλαιᾶς Ῥώμης, γεννηθεὶς τὸν 2ο μ.Χ. αἰῶνα, καὶ τῷ τῆς πίστεως γαλάκτος τραφείς. Παιδιόθεν ὡς θεοσεβής, φιλομαθὴς καὶ σεμνός, ἔχων κλῆσιν καὶ πόθον ἱερόν, ἠσκήθη φιλοπόνως εἰς ἁπάσας τὰς θείας ἀρετάς, ἀλάβαστρον γενόμενος τῆς χάριτος τοῦ Χριστοῦ. Πάντας δ᾽ ὑπερῆρεν ἐν σοφίᾳ, καὶ ταῖς ἀρεταῖς ἐπιμελῶς γεωργήσας, ἐν ἡσυχίᾳ, προσευχῇ, ἀγρυπνίᾳ, μελέτῃ, νήψει, ἐγκράτειᾳ, καὶ πραότητι, διῆγεν ὁσιακὸν βίον καὶ ὡς ἐργώδης μέλισσα, ἡδύτατον μέλι ἐτρύγησε, καὶ πολλῶν ἠξιώθη θαυμασίων. Ἔφηβος ὤν, ἐχειροτονήθη διάκονος τῆς Χριστοῦ ἐν Ῥώμῃ Ἐκκλησίας, σπεύδων ὡς ἱεραπόστολος, ἔχων ἀποστολικὸν ζῆλον, τοῦ κηρῦξαι τὸ Εὐαγγέλιον τῆς σωτηρίας τοῖς εἰδωλολάτραις, ἵν᾽ ἑλκύσῃ λαοὺς ἐκ τοῦ σκότους τῆς ἀγνωσίας καὶ ἀπάτης, εἰς φῶς θεογνωσίας. Μεταφέρων τὰ ἄχραντα Μυστήρια πρὸς μετάληψιν τῶν διωκομένων καὶ κρυπτομένων Χριστιανῶν, συνελήφθη καὶ ἐν τῷ μέσῳ τῆς ὁδοῦ λιθοβολούμενος σφοδρῶς ὑπὸ τοῦ μανιακοῦ ὄχλου, εἰς τὰ τῆς δόξης θεῖα σκηνώματα ἀνέδραμεν, Ἱερομάρτυς τοῦ Χριστοῦ γενόμενος, μὴ λιπὼν τὰ καθηγιασμένα Δῶρα τοῖς ἀλλόφροσι, τοῖς θελήσασιν ἁρπᾶξαι, ἵνα ταῦτα παντοιοτρόπως ὡς κακόγνωμοι μολύνωσιν. Ταῦτα ἐπήρθησαν ὑπὸ θείου Ἀγγέλου θαυμαστῶς καὶ ἔμεινε μόνον ἐν χερσὶ τοῦ νεκροῦ πλέον Ἱερομάρτυρος τὸ καλῦπτον αὐτὰ μάκτρον.